# ΚΖ΄ ΦΕΒΡΟΥΑΡΙΟΥ

## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΕΦΡΑΙΜ ΤΟΥ ΕΝ ΚΑΤΟΥΝΑΚΙΟΙΣ ΑΣΚΗΣΑΝΤΟΣ

Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια

* * *

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον,

Συναπτὴ μεγάλη, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος Πα Κε




Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.




Ἀπολυτίκιον.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Προσευχῆς ἀενάου λαμπτὴρ νεόφωτε,
Κατουνακίων οἰκῆτορ,
Ἁγίου Ὄρους πυρσέ,
ὁ φωτίσας ἀρετῶν σου τοῖς πυρσεύμασι
πάντας, θειότατε Ἐφραίμ,
καὶ εἰς ὕψος ἐπαρθεὶς
θεώσεως ἀπαθείᾳ

καὶ νήφει, μὴ διαλείπῃς
Χριστὸν ἡμῖν καθιλεούμενος.

Δόξα.

Ἕτερον Ὅμοιον.

Τὸ γλυκύφθογγον δεῦτε καὶ καλλικέλαδον
Κατουνακίων στρουθίον,
πνευματοφόρον Ἐφραίμ,
ἀσκητῶν τῶν τῆς ἐρήμου ἰσοστάσιον,
μέλψωμεν ὕμνοις μελιχροῖς
νοερᾶς ὡς προσευχῆς
διδάσκαλον καὶ πυξίον
σκληραγωγίας σαρκίου,
αὐτοῦ λιτὰς ἀπεκδεχόμενοι.

Καὶ νῦν. Θεοτοκίον.




Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος...

Μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.

Θεόπνουν ἀσκητήν,
δσιότητος κέρας,
φανὸν ὑπακοῆς,
προσευχῆς ἀσιγήτου
σεπτὸν ἐργαστήριον
ὁλοθύμως τιμήσωμεν,
ὡς ἀσκήσεως,
Ἐφραίμ, συντόνου πυξίον

καὶ οἰκήτορα
Κατουνακίων ἐν Ἄθω
λαμπρὸν σεμνολόγημα.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Ἡ θεία ἀρωγὸς
ὄρους Ἁγιωνύμου,
προστάτις καὶ φρουρὸς
καὶ ἀντίληψις, Μῆτερ,
θεόθεν ἐπόπτευε
τοὺς εἰς σὲ καταφεύγοντας,
Πορταΐτισσα,
Παραμυθία γλυκεῖα,
Ὁδηγήτρια,
Γλυκοφιλοῦσα Παρθένε,
Γερόντισσα πάναγνε.

Μετὰ τὴν β΄ Στιχολογίαν Κάθισμα.
Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἀξίως ὑμνοῦμέν σε
ὡς ἀσκητῶν καλλονήν,
τοῦ Ἄθωνος σέμνωμα
καὶ θησαυρὸν τιμαλφῆ,
Ἐφραίμ, θείας πίστεως,
γέρας Κατουνακίων,
μονοτρόπων ἀλεῖπτα,
ἄριστε κατευθῦντορ
πρὸς ὁδοὺς σωτηρίας
ψυχῶν καὶ πρεσβευτὰ πρὸς Θεὸν
πάντων θερμότατε.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Σεμνὴ Οἰκονόμισσα,
Μῆτερ τοῦ Λόγου Θεοῦ,
Γερόντισσα Δέσποινα,
Γλυκοφιλοῦσα ἁγνή,
ᾠδαῖς Καρεώτισσα,
μέλπομεν τὴν σὴν χάριν
οἱ ἐν Ἄθω οἰκοῦντες
σπεύδοντες καθ᾿ ἑκάστην
ἐναργεῖ ἀρωγῇ σου
καὶ σκέπῃ καὶ φρουρᾷ ἐν δεινοῖς,
Γοργοϋπήκοε.

## Μετὰ τὸν Πολυέλεον Κάθισμα.
### Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τὸν γεωργήσαντα δακρύων χεύμασιν
ἐρήμου ἄγονον, Ἐφραίμ, τιμήσωμεν
Κατουνακίων καὶ καρπὸν πολύφορον ἐνεγκόντα
ἀρετῆς τῷ Κτίσαντι ἀσκητῶν ὡς ὡράϊσμα,
ἄρτι ὄρος Ἄθωνος ἁγιάσαντα κράζοντες
ἐν ἄκρᾳ εὐλαβείᾳ· Ὁσίων, χαῖρε, νεοφανῶν λαμπρότης.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς Χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

* * *

## ΑΝΑΒΑΘΜΟΙ, ΠΡΟΚΕΙΜΕΝΟΝ
### Οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.




σθε ε ε ε ε α πε ξη ρα με ε ε νοι οι
Δ ο ξα Πα τρι και Υι ω ω και αι Α α γι
ι ω Πνε ευ μα α τι ι
Α γι ω Πνευ μα τι ι ι πα α α σα ψυ υ
χη ζω ω ου ου ου ται αι και κα α θα αρ σει
υ ψου ου ου ται αι λα α αμ πρυ υ νε ε ε ται
τη η Τρι ι α δι κη η μο ο να α α δι ι ι
ι ι Ι ε ε ρο κρυ υ φι ι ι ω ως
Κ αι νυν και α ει και εις τȣς αι ω νας των
αι ω ω νων α α μη ην
Α γι ω Πνευ μα α τι ι α να α βλυ υ υ
ζει τα α τη η ης χα α α α ρι το ος ρει
ει ει θρα α αρ δε ε ε ε ε ευ ο ο ο
ο ον τα α α α πα α σαν τη ην κτι ι ι σι ι
ι ι ιν προς ζω ω ω ο γο ο νι ι ι
α αν

## Προκείμενον.
## Εἰς μνήμας Ὁσίων

Ἦχος ... Βου




Στίχ. α΄. Τί ἀνταποδώσω τῷ Κυρίῳ










Στίχ. β΄. Σοὶ θύσω θυσίαν αἰνέσεως










## ΤΑΞΙΣ ΕΩΘΙΝΟΥ ΕΥΑΓΓΕΛΙΟΥ

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὁ ἱερεύς· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, ...

Ἀμήν.

## Σταθερὸν Προκείμενον ὄρθρου.
## Ψαλμὸς ρν´ (150).

Ἦχος Δι




Στίχ. α´. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.




Στίχ. β´. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.




## Εὐαγγέλιον.

Ὁ διάκονος· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Κύριε, ἐλέησον. (γ´)

Ὁ διάκονος· Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ ἱερεύς· Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Ὁ ἱερεύς· Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα. (Ϛ´ 17-23)

(Ὁσιακόν, τῆς ΙΖ´ Ἰανουαρίου, ὅπερ ζήτει
τῇ Παρασκευῇ τῆς Β´ ἑβδομάδος Λουκᾶ).

Ὁ διάκονος· Πρόσχωμεν.

Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ ἱερεὺς ἀπὸ τῶν βημοθύρων ἀναγινώσκει τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου.

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ἀπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο.

Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ ἔλεγε· μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. Μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.
Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης τὸν ν΄ ψαλμόν, χύμα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.
Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.
Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.
Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.
Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.
Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.
Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.
Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ἦχος Δι




Εἶτα, Ἰδιόμελον.

Ἦχος Πα

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου 







Σῶσον, ὁ Θεός, τὸν λαόν Σου... Κύριε, ἐλέησον (ιβ΄). Ἐλέει καὶ οἰκτιρμοῖς... Ἀμήν.

* * *

## ΟΙ ΚΑΝΟΝΕΣ

Οἱ Κανόνες, τῆς Θεοτόκου καὶ τοῦ Ὁσίου.

Ὁ Κανὼν τῆς Θεοτόκου, οὗ ἡ ἀκροστιχίς·

*Χαρᾶς δοχεῖον, σοὶ πρέπει χαίρειν μόνῃ.*
*Ἰωσήφ.*

Ποίημα Ἰωσὴφ τοῦ Ὑμνογράφου.

Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ εἱρμός.

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ βασιλίδι Μητρί· καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα. (δίς)

Τροπάρια.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Χριστοῦ βίβλον ἔμψυχον, ἐσφραγισμένην σε Πνεύματι, ὁ μέγας Ἀρχάγγελος, Ἁγνὴ θεώμενος, ἐπεφώνει σοι· Χαῖρε χαρᾶς δοχεῖον,

δι’ ἧς τῆς Προμήτορος, ἀρὰ λυθήσεται.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀδὰμ ἐπανόρθωσις, χαῖρε Παρθένε Θεόνυμφε, τοῦ ᾍδου ἡ νέκρωσις· χαῖρε πανάμωμε, τὸ παλάτιον, τοῦ μόνου Βασιλέως· χαῖρε θρόνε πύρινε, τοῦ Παντοκράτορος.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ῥόδον τὸ ἀμάραντον, χαῖρε ἡ μόνη βλαστήσασα· τὸ μῆλον τὸ εὔοσμον, χαῖρε ἡ τέξασα· τὸ ὀσφράδιον, τοῦ πάντων Βασιλέως· χαῖρε Ἀπειρόγαμε, κόσμου διάσωσμα.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἁγνείας θησαύρισμα, χαῖρε, δι’ ἧς ἐκ τοῦ πτώματος, ἡμῶν ἐξανέστημεν· χαῖρε ἡδύπνοον, κρίνον Δέσποινα, πιστοὺς εὐωδιάζον· θυμίαμα εὔοσμον, μύρον πολύτιμον.

Εἶτα ὁ Κανὼν τοῦ Ὁσίου, οὗ ἡ Ἀκροστιχίς·
*Ἐφραίμ, Κατουνακίων ἀσκητοῦ, αἶνος.*
ᾨδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐφραίμ, νέον πύρσευμα, Κατουνακίων τιμήσωμεν, φωτίσαντα Ἄθωνα καὶ χριστωνύμων χοροὺς, ὁσιότητος ἀκτῖσιν ἐκβοῶντες· Συντόνου ἀσκήσεως, χαῖρε, ὡράϊσμα.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Φωτὶ ἐλλαμπόμενος, ἀδύτῳ πάτερ πανόσιε, Ἐφραίμ κατηγλάϊσας, Ὄρους Ἁγίου κλιτῦς, ἐν τοῖς ἔτεσι, θεόφρον τοῖς ἐσχάτοις, ἃς καὶ καθηγίασας, ῥείθροις δακρύων σου.

Δόξα.

Ῥεόντων ὑπέρτερος, Ἐφραὶμ τρισμάκαρ τεθέασαι, ζηλώσας τὰ κρείττονα, ἡσυχαστὰ θαυμαστέ, ἰσοστάσιε, τοῦ Ἰωσὴφ ἐν δόξῃ, ὃν ἔσχες ἀόκνων σου, πόνων ἀρχέτυπον.

Καὶ νῦν. Θεοτοκίον.

Ἀπαύστως ὑμνοῦντές σε, Θεοχαρίτωτε Δέσποινα, ἐν βίῳ τῶν δούλων σου, ὡς ἐναργῆ ἀρωγὸν, καταφεύγομεν, ἐν πάσῃ περιστάσει, σεπτῇ ἀντιλήψει σου, Μῆτερ καὶ χάριτι.

Κανὼν τῆς Θεοτόκου.
ᾨδὴ γ΄. Ὁ εἱρμός.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ἡ ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον. (δίς)

## Τροπάρια.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Στάχυν ἡ βλαστήσασα τὸν θεῖον, ὡς χώρα ἀνήροτος σαφῶς, χαῖρε ἔμψυχε τράπεζα, ἄρτον ζωῆς χωρήσασα· χαῖρε τοῦ ζῶντος ὕδατος, πηγὴ ἀκένωτος Δέσποινα.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Δάμαλις τὸν μόσχον ἡ τεκοῦσα, τὸν ἄμωμον, χαῖρε τοῖς πιστοῖς· χαῖρε Ἀμνὰς κυήσασα, Θεοῦ Ἀμνὸν τὸν αἴροντα, κόσμου παντὸς τὰ πταίσματα· χαῖρε θερμὸν ἱλαστήριον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὄρθρος φαεινὸς χαῖρε, ἡ μόνη, τὸν Ἥλιον φέρουσα Χριστόν, φωτὸς κατοικητήριον· χαῖρε τὸ σκότος λύσασα, καὶ τοὺς ζοφώδεις δαίμονας, ὁλοτελῶς ἐκμειώσασα.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Χαῖρε Πύλη μόνη, ἣν ὁ Λόγος, διώδευσε μόνος, ἡ μοχλούς, καὶ πύλας Ἅδου Δέσποινα, τῷ τόκῳ σου συντρίψασα· χαῖρε ἡ θεία εἴσοδος, τῶν σῳζομένων Πανύμνητε.

## Κανὼν τοῦ Ὁσίου. Ὠδὴ γ΄.
## Ἦχος δ΄. Τοὺς σοὺς ὑμνολόγους.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰθύνας τὰ διαβήματά σου, εἰς Ὄρος τὸ Ἅγιον Ἐφραίμ, Θηβῶν Ἀμπελοχώριον, κατέλιπες γενέτειραν, τὴν σὴν κλεινὴν οἰκείους σου, καὶ συγγενεῖς, ἀξιάγαστε.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μισήσας ἡδέα παιδιόθεν, τοῦ βίου ἐπόθησας Ἐφραίμ, ἀεὶ τὰ διαμένοντα, καὶ ᾤκησας τὸν Ἄθωνα, Κατουνακίων ἔνοικος, πνευματοφόρος γενόμενος.

Δόξα.

Καλύβην Ἐφραὶμ ὁσίου Σύρου, παλαίστραν ἀνέδειξας σεπτήν, τῶν νυχθημέρων πόνων σου, ἐν ᾗ ἐχθρὸν ἐπύκτευσας, τὸν νοητὸν παλαίσμασιν, Ἐφραὶμ συντόνοις θεόληπτε.

Καὶ νῦν. Θεοτοκίον.

Ἀνάδειξον πάντας, Θεοτόκε, τὴν χάριν σου Μῆτερ ἀγαθή, ὁμολογοῦντας πάντοτε, φανοὺς λαμπροὺς τῆς πίστεως, λιταῖς Ἐφραὶμ θεόφρονος, Κατουνακίων κοσμήτορος.

Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...

* * *

## ΜΕΣΩΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

### Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Ἴον εὔοσμον Κατουνακίων,
ὄρους ἔνοικε ἁγιωνύμου
καὶ ὁσίων νεαυγῶν ἐγκαλλώπισμα,
πνευματοφόρε Ἐφραίμ, ὡς ἀσώματος
ἐπολιτεύσω καὶ μέροψ ἰσάγγελος·
ὅθεν πόνους σου συντόνους στεῤῥᾶς ἀσκήσεως
ὑμνοῦντες εὐθαρσῶς σε μακαρίζομεν.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Φύλαξ, ἔφορε καὶ ἀντιλῆπτορ
ὄρους Ἄθωνος Ἁγιωνύμου,
Τριχεροῦσα, θαυμαστὴ Πορταΐτισσα,
Γλυκοφιλοῦσα σεμνή, Οἰκονόμισσα,
Παραμυθία, Γερόντισσα πάναγνε,
Ὁδηγήτρια Παρθένε Γοργοϋπήκοε,
θεόθεν περιφρούρει τοὺς τιμῶντάς σε.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης...

* * *

### Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Κατουνακίων θεαυγέστατον οἰκήτορα,
πνευματοφόρον, γρηγοροῦντα, χαριέστατον
καὶ ποθοῦντα τὴν τελείωσιν εὐσχημόνως
μελῳδήσωμεν Ἐφραὶμ ὡς ἐνασκήσεως
ἰσαγγέλου κρίνον εὔοσμον κραυγάζοντες
μετὰ πίστεως· Χαίροις, Πάτερ πανόσιε.

### Ὁ Οἶκος.

Ἄγγελοι καθορῶντες
ἐν τοῖς Κατουνακίοις
ἐξέστησαν, Ἐφραίμ, σοὺς καμάτους,
καὶ σεμνῶν δῆμοι Ἀθωνιτῶν
μονοτρόπων χάριν τὴν ἐνοικοῦσάν σοι
θεώμενοι ἀνέκραζον
ψυχῆς ἐν κατανύξει ταῦτα·
Χαῖρε, ἀσώματος σαρκοφόρος·
χαῖρε, οὐράνιος κληρονόμος.
Χαῖρε, ἀπαθείας καὶ νήψεως πρόβολος·
χαῖρε, ἀκτησίας καὶ χάριτος ἔνοικος.
Χαῖρε, βάθρον ἀδιάσειστον προσευχῆς καρδιακῆς·
χαῖρε, ῥεῖθρον διειδέστατον ἀκραιφνοῦς ὑπακοῆς.

Χαῖρε, ὁ μαθητεύσας Ἰωσὴφ παρὰ πόδας·
χαῖρε, ὁ πᾶσι δείξας ἀρετὴν σῆς καρδίας.
Χαῖρε, Θηβῶν βλαστὸς ἐνθεώτατος·
χαῖρε, κανὼν καὶ γνώμων χρηστότητος .
Χαῖρε, οἰκῆτορ τῶν Κατουνακίων·
χαῖρε, ἀκέστορ τῶν σοὶ προσιόντων.
Χαίροις, Πάτερ πανόσιε.

## Συναξάριον.

Τῇ ΚΖ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Προκοπίου τοῦ Δεκαπολίτου.

Στίχ. Οὐδέν, Δεκαπολῖτα, γῆς πᾶσαι πόλεις,
Πρὸς τὴν νοητήν, ἔνθα περ τάττῃ, πόλιν.

Εἰκάδι ἑβδομάτῃ Προκοπίῳ τέρμα φαάνθη.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου Σίμωνος τοῦ Κυρηναίου, πατρὸς Ἀλεξάνδρου καὶ Ρούφου, τοῦ ἄραντος τὸν Σταυρὸν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐπὶ τῇ τοῦ Γολγοθᾷ ἀναβάσει.

Στίχ. Ὤ! σφοδρᾶς τιμῆς ἧς ἠξιώθης, Σίμων,
Σταυρὸν βαστάσαι τοῦ Σταυρωθέντος Λόγου!

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ἁγίου ἐνδόξου Μάρτυρος Γελασίου, ὃς τὸ Βάπτισμα κελευσθεὶς διαπαῖξαι παρὰ τοῦ ἄρχοντος, βαπτίζεται ἀληθῶς καὶ ξίφει τελειοῦται.

Στίχ. Φώτισμα μέλλων ἐκγελᾶν, γελᾷς πλάνην·
Πλυθεὶς δέ, Γελάσιε, ἐκτέμνῃ κάραν.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θαλλελαίου τοῦ ἐν Συρίᾳ.

Στίχ. Ὁ Θαλλέλαιος φαιδρῶς, ἥκει πρὸς πόλον,
Θαλλοῖς ἐλαιῶν, ἀρεταῖς ἐστεμμένος.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ὅσιος Στέφανος, ὁ συστησάμενος τὸ γηροκομεῖον τοῦ Ἁρματίου, ἐν εἰρήνῃ τελειοῦται.

Στίχ. Γήρει Στέφανος πρύτανις ζωῆς πόρου,
Ὅν περ θανόντα Πρύτανις στέφους στέφει.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος ἔνδοξος Μάρτυς Νήσιος, βουνεύροις τυπτόμενος, τελειοῦται.

Στίχ. Νεύροις βοείοις Νήσιος πάσχων φέρει,
Νευρούμενος γὰρ τῶν πόνων λήθην ἔχει.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Λεάνδρου, ἐπισκόπου Σεβίλλης, ὑπερμάχου καὶ στερεωτοῦ τῆς Ὀρθοδόξου πίστεως ἐν Ἱσπανίᾳ, κοιμηθέντος ἐν Κυρίῳ ἐν ἔτει χα΄ (601).

Στίχ. Λέανδρος φανεὶς στύλος Ὀρθοδοξίας,
Ὁπόσα στέφη εἴληφεν ἐκ Κυρίου!

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ Ὅσιοι Πατέρες ἡμῶν Ἀσκληπιός, Ἰάκωβος καὶ Τιμόθεος, οἱ ἐν Καισαρείᾳ, ἐν εἰρήνῃ τελειοῦνται

Στίχ. Πᾶσαν δικαίως γῆν κρίνοντι Δεσπότῃ,

Ἄνδρες δίκαιοι συμπαρέστησαν δύο.
Τὸν Τιμόθεον ὡς Θεοῦ τιμῶ φίλον,
Οὗ καὶ τελευτὴ σφόδρα μοι τιμητέα.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Γεροντίου.

Στίχ. Γέρα ποθήσας Γερόντιος τὰ ἄνω,
Πάντων τῶν κάτω ἠλόγησεν ἐμφρόνως.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ Ἁγίου ἐνδόξου Νεομάρτυρος Ἠλία τοῦ Τραπεζουντίου, ἀθλήσαντος ἐν ἔτει ‚αψμθ΄ (1749).

Στίχ. Καὶ Ἠλίας εἴληφε στέφος Μαρτύρων,
Ἄγαρ τὴν πλάνην ἐν ἀνδρείᾳ ἐλέγξας.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Τίτου τῶν Σπηλαίων τοῦ Κιέβου.

Στίχ. Κανὼν πρόκειται δεινῆς μισαδελφίας,
Τίτου τὸ τέλος καὶ δεινοῦ Εὐαγρίου!

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Ῥαφαήλ, Ἐπίσκοπος Μπρούκλιν, ἐν εἰρήνῃ τελειοῦται, ἔν ἔτει ‚αϡιε΄ (1915).

Στίχ. Ἐξ ἑῴας φὺς Ραφαὴλ ἐν τῇ Δύσει,
Φωστὴρ ἐφάνη πίστεως Ὀρθοδόξου.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ Ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἐφραὶμ τοῦ ἐν Κατουνακίοις ἄρτι ἀσκήσαντος.

Στίχ. Ὑπακοῇ, εὐχῇ καὶ σκληραγωγίᾳ
Ἐφραίμ, διέπρεψας ἐν Κατουνακίοις.

Ταῖς αὐτῶν πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

* * *

## Καταβασίαι σύντομαι τῆς Θεοτόκου. Ἦχος Βου

Ψάλλονται ἀπὸ τῆς 22ας Σεπτεμβρίου μέχρι τῆς 7ης Νοεμβρίου, ἀπὸ τῆς 10ης Φεβρουαρίου μέχρι τῆς ἐνάρξεως τοῦ Τριῳδίου, τῇ Β΄, Δ΄ καὶ Ε΄ Κυριακῇ τῶν νηστειῶν καὶ ἀπὸ τῆς Κυριακῆς τῶν ἁγίων Πάντων μέχρι τῆς 26ης Ἰουλίου.

ᾨδὴ α΄




ᾨδὴ γ΄






ᾠδὴ δ΄




ᾠδὴ ε΄




ᾠδὴ ϛ΄






ᾠδὴ ζ΄




ᾠδὴ η΄

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον, ὑμνοῦντες καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.



ω ω να α α α ας

* * *

Ὁ διάκονος· Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.

## Η ΩΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

1 Με γα λυ νει η ψυ χη μȣ τον Κυ ρι ον και
η γαλ λι α σε το πνευ μα μȣ ε πι τω Θε
ω ω τω ω σω τη ρι μȣ

Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι
α φθο ο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον σε ε με γα λυ νο μεν

2 Ο τι ε πε βλε ψεν ε πι την τα πει νω
σιν της δȣ λης αυ τȣ ι δȣ γαρ α πο τȣ νυν μα
κα ρι ȣ σι με πα σαι αι γε νε αι

Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι
α φθο ο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε


ο το κον σε ε με γα λυ νο μεν
3 Ο τι ε ποι η σε μοι με γα λει α ο
δυ να τος και α γι ον το ο νο μα αυ τȣ και
το ε λε ος αυ τȣ εις γε νε αν και γε νε
αν τοις φο βȣ με νοις αυ τον
Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι
α φθο ο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον σε ε με γα λυ νο μεν
4 Ε ποι η σε κρα τος εν βρα χι ο νι αυ τȣ
δι ε σκορ πι σεν υ πε ρη φα νȣς δι α νοι
α καρ δι ας αυ των
Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι
α φθο ο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε


ο το κον σε ε με γα λυ νο μεν
5 Κα θει λε δυ να στας α πο θρο νων και υ υ
ψω σε τα πει νȣ ȣς πει νων τας ε νε πλη σεν α γα
θω ων και πλȣ τȣ ȣν τας ε ξα πε στει λε κε νȣ
ȣς
Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι α
φθο ρως Θε ον Λο γον τε κου ου ου σαν την ον τως
Θε ο το κον σε ε με γα λυ νο μεν
6 Αν τε λα βε το Ισ ρα ηλ παι δος αυ τȣ
μνη σθη ναι ε λε ȣς κα θως ε λα λη σε προς
τȣς πα τε ρας η μων τω Α βρα αμ και τω σπερ
μα τι αυ τȣ ε ως αι ω νος
Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι α

φθο ρως Θε ον Λο γον τε κου ου ου σαν την ον τως

Θε ο το κον σε ε με γα λυ νο μεν

ᾠδὴ θ´

Α πας γη γε νης σκιρ τα τω τω πνευ μα τι λα

μπα α δȣ χȣ με νος πα νη γυ ρι ζε τω ω δε α

υ λων νο ο ων φυ σις γε ραι ρȣ σα τα ι ε ρα

θαυ μα σι α της Θε ο μη η το ο ρος και

βο α α α α τω χαι ροις πα αμ μα κα ρι ςε

Θε ο το κε α γνη α ει παρ θε νε ε ε ε

Συναπτὴ μικρά, μεθ᾿ ἣν ἐκφώνησις·

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

* * *

## ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

Τοῦ Ἁγίου.

Ἦχος β´. Γυναῖκες ἀκουτίσθητε.

Ἡσύχαστα πανόσιε,
Ἐφραὶμ πνευματοφόρητε,
Κατουνακίων οἰκῆτορ,
τῆς ἀρετῆς ἐκμαγεῖον,
ὑπακοῆς ἀρχέτυπον,
σκληραγωγίας σκήνωμα
καὶ προσευχῆς ἀνάκτορον,
χαῖρε, ἐν Ὄρει Ἁγίῳ
ὁ διαπρέψας ἀρτίως.

Θεοτοκίον.

Εὐλόγει καὶ ἁγίαζε
καὶ σκέπε, Μητροπάρθενε,
τοὺς μεγαλύνοντας πόθῳ

τῶν θαυμασίων σου πλῆθος,
Παντάνασσα πανύμνητε,
τοῦ κόσμου Ὁδηγήτρια,
Γλυκοφιλοῦσα πάναγνε,
Ἐλαιοβρῦτις γλυκεῖα
καὶ θεία Παραμυθία.

Εἰς τοὺς Αἴνους.

Ἦχος Νη




ἱστῶμεν στίχους δ′ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. δ′. Ὢ τοῦ παραδόξου θαύματος!

Στίχ. α′. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Χαῖρε, ἀσκητῶν ἀγλάϊσμα,
Κατουνακίων, Ἐφραίμ,
ὁ ἀρδεύσας δακρύων σου
ταῖς ῥανίσιν ἄγονον

πρὸς πολύφορον βλάστησιν
τῆς ἀπαθείας,
ἤθους χρηστότητος,
σκληραγωγίας
σαρκὸς καὶ νήψεως,
πόθῳ κραυγάζοντες
ἐκτελοῦμεν μνήμην σου τὴν ἱερὰν
ὄντως καὶ σεβάσμιον,
πάτερ ἰσάγγελε.

Στίχ. δ΄. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Χαῖρε, Ἰωσὴφ ὁμόζηλε,
Ἡσυχαστοῦ, ἀρετῶν,
προσευχῆς, ταπεινώσεως,
ἀσιτίας, νήψεως
καὶ ἡδέων στερήσεως,
Ἐφραίμ, ὁσίων
φανὲ νεόφωτε,
ὁ λάμψας ἄρτι
ἐν ὄρει Ἄθωνος
καὶ τῶν προσφύγων σου
καταυγάσας, πάμφωτε, τὰς ἀτραποὺς
πρὸς σαφῆ ἐκμίμησιν
κατορθωμάτων σου.

Στίχ. ε΄. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Χαῖρε, ἀρετῆς καὶ νήψεως
ὁ ἐραστής, Δανιὴλ
ὁ ποθήσας μιμήσασθαι
τρόπους ὁσιότητος
τοῦ πρὸ σοῦ ἁγιάσαντος
Κατουνακίων
τὴν Σκήτην, σέμνωμα
τῆς ἀπαθείας
καὶ διακρίσεως,
χαῖρε, ἰσάγγελε
πάτερ, ὁ τὴν κλίμακα τῶν ἀρετῶν
ἀνελθὼν ἐν Ἄθωνι
Θεοῦ τῇ χάριτι.

Στίχ. ϛ΄. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν

κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Χαῖρε, ἀντιλῆπτορ ἄγρυπνε
τῶν σὲ καλούντων, Ἐφραίμ,
εὐλαβῶς καὶ λειψάνων σου
θήκην τὴν πανίερον
προσκυνούντων ἑκάστοτε,
τῶν ἀσθενούντων
ἀκέστορ τάχιστε
καὶ φύλαξ πάντων
τιμώντων μνήμην σου
τὴν ἀεισέβαστον,
δαψιλῶς ὁ ἄνωθεν
χάριν λαβών,
δυσωπεῖν τὸν Ὕψιστον
ὑπὲρ προσφύγων σου.

Ἦχος Πα






Καὶ εὐθὺς ψάλλεται εἰς τὸν αὐτὸν ἦχον

## Η ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ

Δοξολογία Μανουὴλ Πρωτοψάλτου.

Ἦχος Πα




ι στοις Θε ω και ε πι γης ει ρη η νη εν αν
θρω ποις ευ δο κι ι α
Υ μνου μεν Σε ευ λο γου μεν Σε προ σκυ νου μεν
Σε δο ξο λο γου μεν Σε ευ χα ρι στου μεν Σοι δι
α την με γα α λην Σου δο ο αν
Κ υ ρι ε Βα σι λευ ε που ρα νι ε Θε ε Πα
τερ πα ντο κρα α τορ Κυ ρι ε Υι ε μο νο γε νες Ι
η σου Χρι στε και Α γι ον Πνε ευ μα
Κ υ ρι ε ο Θε ος ο αμ νος του Θε ου ο Υι
ος του Πα τρος ο αι αι ρων την α μαρ τι ι αν του
κο σμȣ ε λε η σον η μας ο αι αι ρων τας α μαρ τι ι
ας του κο ο σμȣ
Π ρο σδε ξαι την δε η σιν η μων ο κα θη με
νος εκ δε ξι ω ων του Πα τρος και ε λε η σον η
μας
Ο τι συ ει μο νος Α γι ος Συ ει ει μο νος


Κυ ρι ος Ι η σους Χρι στος εις δο ξαν Θε ου Πα τρος α
μην
Καθ ε κα στην η με ραν ευ λο γη σω Σε και
αι νε ε σω το ο νο μα α Σου εις τον αι ω ω να
και εις τον αι ω να του αι ω ω νος
Κα τα ξι ι ω σον Κυ ρι ε εν τη η με ρα
τα αυ τη α να μα ρτη τους φυ λα χθη ναι η μας
Ευ λο γη τος ει Κυ ρι ε ο Θε ος των πα τε
ε ρων η μων και αι νε το ον και δε δο ξα σμε ε
νον το ο νο μα α Σου εις τȣς αι ω νας α μην
Γε νοι το Κυ ρι ε το ε λε ος Σου εφ η μας κα
θα περ ηλ πι ι ι σα μεν ε πι Σε
Ευ λο γη το ος ει Κυ ρι ε δι δα ξον με τα δι
και ω μα τα Σȣ (τρίς)
Κυ ρι ε κα τα φυ γη ε γε νη η θης η μιν εν
γε νε α και γε νε α ε γω ει πα Κυ ρι ε ε λε


η σο ον με ι α σαι την ψυ χην μου ου ο τι η μαρ τον Σοι
Κυ ρι ε προς Σε κα τε φυ γον δι δα ξο ον με του ποι ειν το θε λη μα α Σου ο τι Συ ει ο Θε ο ος μου
Ο τι πα ρα Σοι πη γη ζω ης εν τω φω τι Σου ο ψο με θα φως
Πα ρα τει νον το ε λε ος Σου ου τοις γι νω σκου σι Σε
Α γι ος ο Θε ος Α γι ος Ι σχυ ρος Α γι ος α θα να τος ε λε η σον η μας
(τρίς)
Δο ξα Πα τρι ι και Υι ω και α γι ω Πνευ μα τι
Και νυ υν και α ει και εις τους αι ω νας των αι ω νων α μην
Α γι ος α θα να τος ε λε η σον η μας

Ἀσματικόν.




Καὶ τὸ ἀπολυτίκιον τοῦ Ὁσίου.
Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Προσευχῆς ἀενάου λαμπτὴρ νεόφωτε,
Κατουνακίων οἰκῆτορ,
Ἁγίου Ὄρους πυρσέ,
ὁ φωτίσας ἀρετῶν σου τοῖς πυρσεύμασι
πάντας, θειότατε Ἐφραίμ,
καὶ εἰς ὕψος ἐπαρθεὶς
θεώσεως ἀπαθείᾳ
καὶ νήψει, μὴ διαλείπῃς
Χριστὸν ἡμῖν καθιλεούμενος.

* * * * *

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ
Ὁ διάκονος τὰ εἰρηνικά
Τὰ ἐξαπλᾶ.

Ἦχος Νη






Τὰ Ἁγιορείτικα (καταγραφὴ Μελετίου Συκιώτου).

Ἦχος Νη




Ἀθανασίου Καραμάνη.

Ἦχος Νη



Κυ ρι ε Ε λε ε ε η σον

Εἰς τὰ Εἰρηνικά, Κύριε Ἐλέησον.
Ἰωάννου Β. Ἀρβανίτη.

Ἦχος Νη

Κυ ρι ε Ε ε λε ε η η σον

Κυ ρι ε Ε λε ε η η σον

Κυ ρι ε Ε λε ε η η σον

Κυ ρι ε Ε λε ε η σον

Κυ ρι ε Ε λε ε ε η η σον

Κυ ρι ε Ε λε ε ε η η σον

Σοι Κυ ρι ι ε

(Ἐτονίσθησαν πρὸ πολλῶν ἐτῶν, ἐγράφησαν ἐνταῦθα κβ΄ Ἰουλ ,βιθ΄ Ἰ. Ἀ.)

καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·
Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἀντίφωνον Α΄. Ἦχος β΄. Ψαλμὸς ϞΑ΄ (91).

Ἦχος Δι

Στίχ. α΄. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε. (ϞΑ΄ 2)

Ταις πρε σβει αις της Θε ο το κου Σω τε ε ερ
σω σον η μας

Στίχ. β΄. Τοῦ ἀναγγέλλειν τῷ πρωῒ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. (ϟα΄ 3)




Στίχ. γ΄. Ὅτι εὔφρανάς με, Κύριε, ἐν τοῖς ποιήμασί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι. (ϟα΄ 5)




Στίχ. δ΄. Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. (ϟα΄ 16)




Δόξα. Καὶ νῦν.




Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι σὸν τὸ κράτος...

Ἀντίφωνον Β΄. Ἦχος πλ. α΄. Ψαλμὸς ϟβ΄ (92).

Στίχ. α΄. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο. (ϟβ΄ 1)



Στίχ. β΄. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. (Ϥβ΄ 1)




Στίχ. γ΄. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος. (Ϥβ΄ 4)




Στίχ. δ΄. Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα· τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν. (Ϥβ΄ 5)




Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.









Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...

## Ἀντίφωνον Γ΄. (Ἐκλογή).
### Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Στίχ. α΄. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. (ριε΄ 6)

Στίχ. β΄. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. (ρια΄ 1)

Στίχ. γ΄. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν; (ιε΄ 2)

### Τὸ ἀπολυτίκιον τοῦ ἁγίου.

Προσευχῆς ἀενάου λαμπτὴρ νεόφωτε,
Κατουνακίων οἰκῆτορ,
Ἁγίου Ὄρους πυρσέ,
ὁ φωτίσας ἀρετῶν σου τοῖς πυρσεύμασι
πάντας, θειότατε Ἐφραίμ,
καὶ εἰς ὕψος ἐπαρθεὶς
θεώσεως ἀπαθείᾳ

καὶ νήψει, μὴ διαλείπῃς
Χριστὸν ἡμῖν καθιλεούμενος.

* * *

## ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ

### Εἰσοδικόν. Ἦχος β΄.

(Ἐὰν εἰσοδεύουν πολλοὶ ἱερεῖς, ψάλλουν αὐτοὶ τὸ εἰσοδικόν).

Ἦχος Δι




ὁ β΄ χορός:




* * *

### Τὸ ἀπολυτίκιον τοῦ ἁγίου.

### Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Προσευχῆς ἀενάου λαμπτὴρ νεόφωτε,
Κατουνακίων οἰκῆτορ,
Ἁγίου Ὄρους πυρσέ,
ὁ φωτίσας ἀρετῶν σου τοῖς πυρσεύμασι
πάντας, θειότατε Ἐφραίμ,
καὶ εἰς ὕψος ἐπαρθεὶς
θεώσεως ἀπαθείᾳ
καὶ νήψει, μὴ διαλείπῃς
Χριστὸν ἡμῖν καθιλεούμενος.

### Ἕτερον Ὅμοιον.

Τὸ γλυκύφθογγον δεῦτε καὶ καλλικέλαδον
Κατουνακίων στρουθίον,
πνευματοφόρον Ἐφραίμ,
ἀσκητῶν τῶν τῆς ἐρήμου ἰσοστάσιον,
μέλψωμεν ὕμνοις μελιχροῖς
νοερᾶς ὡς προσευχῆς
διδάσκαλον καὶ πυξίον

σκληραγωγίας σαρκίου,
αὐτοῦ λιτὰς ἀπεκδεχόμενοι.

Εἶτα τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ.

## Κοντάκιον τῆς Θεοτόκου.

(ψάλλεται ὑπὸ τῶν ἱερέων, ἐὰν τελεῖται συλλείτουργον)

Ἦχος Δι




* * *

## ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ

Ἦχος Δι




α γι ι ος α θα α να τος ε λε ε ε η σο ο
ον η μα ας
Τό τρίτον.
Α γι ος ο Θε ο ο ο ο ο ο ο
ο ο ο ο ος α γι ος ι σχυ ρο ο ο ο ος
α α γι ι ος α θα α να τος ε λε ε ε η
σο ο ον η μα ας
Δ ο ξα Πα τρι και Υι ω και α γι ω Πνε ευ μα
τι
Κ αι νυν και α ει και εις τους αι ω νας των αι ω
νων α μην
Α α γι ι ος α θα α να τος ε λε ε ε
η σο ο ον η μα ας
Δ υ να α α μις Α γι ος ο Θε ο ο ο
ο ο ο ο ο ο ο ο ο ο ο ος α γι ος
ι σχυ ρο ο ο ο ος α α α α α α
α α α α γι ι ι ος α θα α να α α το ο




## Τρισάγιον. Σύντομον.

Ἦχος Δι




## Δύναμις τοῦ βήματος.

Ἦχος Δι



Ὁ Ἀρχιερεύς· Κύριε Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ ...

Ὁ α΄ χορός· Ε ις πολ λα ε ε τη Δε ε ε

σπο ο ο τα

Α α α α α γι ι ι ι ι ο ο ο ο

ο ος ι ι ι ι ι ι σχυ υ ρο ο ο ο ο

ος

Ὁ Ἀρχιερεύς· Κύριε Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ ...

Ὁ β΄ χορός· Ε ις πολ λα ε ε τη Δε ε ε

σπο ο ο τα

Α α α α α α α γι ι ι α α γι

ι ι ος Α α α α θα α α α α α α

α α α α α α ⁷α α α ⁷ιε α α θα α να το

ο ο ο ο ο ο ος

Ὁ Ἀρχιερεύς· Κύριε Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ ...

Ὁ α΄ χορός· Ε ις πολ λα ε ε τη Δε ε ε

σπο ο ο τα




## Ἕτερον ὑπὸ Γεωργίου Κρητός ( † 1816)

Ἦχος Δι



ο ο ο ο ο ο ος

Α α α α α α γι ο ο ο ο ος α

θα α α α α α α α α α α α α α α α θα

α να α α τος

Ε λε ε ε ε λε ε ε η σον η

μα α α α α α α α α α α ας

* * *

ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Γαλάτας (ε´ 22-26, ϛ´ 1-2).

(Ζήτει τῷΣαββάτω κζ´ ἑβδομ. ἐπιστολῶν).

Ὁ ἀναγνώστης· Ψαλμὸς τῷ Δαβίδ. Προκείμενον ἦχος βαρύς.

Ὁ διάκονος· Πρόσχωμεν.

---

Ὁ ἀναγνώστης τὸ προκείμενον καὶ τὸν στίχον αὐτοῦ.

(Ψαλμὸς λβ´).

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;

---

Ἢ ὁ ψάλτης.

Ἦχος Γα

Τ ι μι ος ε να ντι ι ον Κυ ρι ι ου ο θα να

τος τȣ ο σι ι ȣ αυ τȣ

Τι α ντα πο δω σω τω Κυ ρι ω πε ρι




Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης·

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ὁ διάκονος· Πρόσχωμεν.

Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πρᾳότης, ἐγκράτεια· κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος. Οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Εἰ ζῶμεν Πνεύματι, πνεύματι καὶ στοιχῶμεν. Μὴ γινώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες. Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πρᾳότητος, σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς. Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.

Ἀλληλούϊα. Ἦχος πλ. β΄. Ψαλμὸς ρια΄ (111).

Ἦχος Πα




ȣ ϊ ϊ α α
Μα κα ρι ος α νηρ ο φο βȣ μενος τον Κυ ρι
ον εν ταις εν το λαις αυ τȣ θε λη η σει σφο ο
ο δρα
Α λλη λȣ ϊ ϊ α Α λλη η λȣ ȣ ȣ ȣ
ϊ ϊ ϊ ϊ α Α α α ʼα α α λλη η λȣ ȣ ȣ
ȣ ϊ ϊ α α
Ἦχος Πα
Δυ να τον εν τη γη ε σται το σπερμα αυ τȣ
γε νε α ευ θε ε ων ευ λο γη θη η η
σε ε ε ε ται αι αι αι αι αι
Α λλη η λȣ ϊ ϊ α α α α Α λλη
λȣ ȣ ȣ ȣ ȣ ϊ ϊ ϊ ϊ α Α α α ʼα α α
λλη η η λȣ ȣ ȣ ȣ ȣ ϊ ϊ ϊ ϊ ϊ
α α α α α α α α α α α α α α α α

## ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν

(ϛ΄ 17-23)

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ἀπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο. Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ᾽ αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ ἔλεγε· μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. Μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

Ἦχος Δι




Χερουβικόν, Ἰωάννου Ἀρβανίτη, ἦχος Δι




υ υ στι ι ι κω ω ω ω ω ω ω ω ω ω
ως ει κο ο νι ι ι ι ι ι ι ι ι ζο ο ο
ο ο ει κο ο νι ι ι ι ι ι ζο ο ον
τε ε ε ε ε ε ε ε ες και αι αι αι
τη η η η ζω ο ο ο ποι οι οι οι οι οι οι
ζω ο ο ποιοι ω ω Τρι ι α α α α ϊα α α
α α α α α α α α α α α α Τρι α α
α α δι ι το ον τρι ι σα α α α
γι ι ι ι ο ο ο ον υ υ υ μνο ο ο ο ον
προ σα α α δο ο ο υ μνον προ ο σα α α
δο ο ον τε ες πα α α α α α σα α α α
αν την βι ι ω τι ι κη η η η η η η ην α
πο ο θω ω ω ω ω ω με ε ε ε ε θα α με ε
ρι ι ι μνα α α α α α α α α α αν
Ω ς τον βα σι ι λε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε βα α σι ι λε ε ε

ε ε ε ε α

Τ ω ων ο ο ο ο ο λω ω ω ω ων υ

πο ο δε ξο ο ο με νοι οι Ται αις α αγ γε

λι ι και αις α ο ρα α α τω ως δο ο ρυ φο

ο ρȣ ȣ ȣ με νο ον τα α ξε σι ι ι ι ι

ι ι ι ι ιν Α λλη λȣ ȣ ȣ ϊ ϊ ϊ ϊ

α α α α α

Τὰ παρόντα ἀπό τὴν "Θεία Λειτουργία" τοῦ Παναγιώτου Παππᾶ.

Ἦχος Δι

Κ υ ρι ε Ε λε η η σον

Κ υ ρι ε Ε λε ε η η η σον

Κ υ ρι ε Ε λε η η σον

Κ υ υ ρι ε Ε λε η η σον

Δι

Π α ρα σχȣ Κυ ρι ι ε

Π α ρα σχȣ ȣ Κυ ρι ι ε

Π α ρα α σχȣ Κυ υ ρι ι ι ε




Λειτουργικὰ σύντομα, Ἰωάννου Ἀρβανίτη.

Ἦχος Δι




Μέλος ἀρχαῖον, ἐξήγησις Σίμωνος Καρᾶ.

Ἦχος Δι



φυ γη μȣ ȣ και αι ρυ υ στη ης μȣ ȣ ȣ ȣ

ȣ ȣ ȣ ȣ ȣ ȣ

## Τὸ Σύμβολον τῆς πίστεως.

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τόν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι᾽ οὗ τὰ πάντα ἐγένετο. Τὸν δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

* * *

Ε λε ον ει ρη η νης θυ σι αν αι νε σε ως

Κ αι με τα τȣ πνευ μα το ος σȣ

Ε χο μεν προς τον Κυ υ ρι ον

Α ξι ον και δι και ον — *καὶ ἄλλως :* Δι

Α ξι ον και δι ι και αι αι ο ον




Ἐτονίσθησαν ιζ΄ Αυγ. ,αϡϛζ΄, ἀντεγράφησαν ε΄ Ἰαν. ,βιϛ΄, ΙΑ.

## Γρηγορίου Πρωτοψάλτου. Ἦχος Δι






Τῇ Τρίτῃ. Κοινωνικόν, Πέτρου Λαμπαδαρίου.

Ἦχος Βαρύς Ζω




Νη Ζω
ω ω ω ω ω ω ω ω ω ω ω ω ω νι ι ι
ι ι ι αι αι ω ω ω ω ω ω ω νι ι ι
ο ο ο ο ο ο ο ο ο ο ον ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε
Κε Δι
σται αι αι ε σται αι δι ι ι ι ι ι ι
Κε
ι ι ι ι χι ι ι ι ι ι ι ι ι ι ι
Πα
χι ι ι ι ι ι ι ι ι ι ι ι ι ι
ι ι ι ι ι ι ι ι ι ι ι ι ι χι ι
ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι
Ζω
χι ι ι ι ι ι ηι ι ι ι ι ι ι ι ι
ε ε σται αι δι ι ι ι ι ι ι ι ι ι και αι αι
αι αι ε σται δι ι ι ι ι ι ι και αι αι
ο ο ο ο ο ο ο ο ο ο ος α λε ε
λα λε λα λε λε λλα λα λε λα λε ε ε ε
λε λα λα λε ε ε λε λα λα λε ε ε λε λα α




Ἐκ τοῦ Ταμείου Ἀνθολογίας Θεοδώρου παπα-Παράσχου, Φωκαέως, μετὰ σημάνσεως τῶν ρυθμικῶν ποδῶν καὶ τῶν ἕλξεων, ὡς καί τινων ἄλλων σημείων, παρὰ Ἰωάννου Β. Ἀρβανίτη, μουσικοδιδασκάλου.

ΑΘΗΝΑΙ 2003

Οἱ ἐντὸς παρενθέσεως ἕλξεις καὶ φθορὲς ἐκτελοῦνται κατὰ βούλησιν.

Ἦχος Δι




Ἦχος Δι




η μας εν τω σω α γι α σμω ω ο λην την η
με ε ραν με λε των τας την δι και ο συ υ νην σȣ
Α λλη λȣ ϊ α Α λλη λȣ ϊ α Α λλη
λȣ ϊ α α α
Ἦχος Δι
Ε ι η το ο νο μα Κυ ρι ȣ ευ λο γη με
νον α πο τȣ νυν και ε ως τȣ αι ω ω νος (δὶς)
Τ ο ο νο μα Κυ ρι ȣ ει η ευ λο γη
με ε ε ε ε νο ο ο ον α πο τȣ νυν και ε ως
τȣ αι ω ω νο ο ος